## *LOS TRABAJOS DE HERACLES:* 2º LA HIDRA DE LERNA. DESCRIPCIÓN DE LA HIDRA

*Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν* ***Λερναίαν*** *ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς* ***Λέρνης ἕλει*** *ἐκτραφεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος* ***Ἰολάου****, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς* ***Ἀμυμώνης****, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βάλλων βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. ἡ δὲ θατέρῳ τῶν ποδῶν ἐνείχετο* ***περιπλακεῖσα****.*

| | | |
|---|---|---|
| *Λερναῖος, -α, -ον* | | *de Lerna* |
| *Λέρνη, -ης* | *(ἡ)* | *Lerna* |
| *ἕλος, -έος* | *(τό)* | *pantano* |
| *Ἰολάος, -ου* | *(ὁ)* | *Yolao* |
| *Ἀμυμώνη, -ης* | *(ἡ)* | *Amimone* |
| *περιπλέκω* | | *abrazar, enlazarse* |